οὐρανοῦ καθιπτάμεναι". Λ', θ', 22 »τῆς δὲ ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν". Β', ε', 6 »μετὰ δέους ἀνίπταντο". Δίων Κάσσ. Νϛ', μβ', 3 (Τόμ. Γ', σελ. 232 Δινδ.) »καὶ ἡ μὲν ἀνηλίσκετο, ἀετὸς δέ τις ἐξ αὐτῆς ἀφεθεὶς ἀνίπτατο ὡς καὶ δὴ τὴν ψυχὴν αὐτοῦ ἐς τὸν οὐρανὸν ἀναφέρων" (Ἀλλὰ ΟΔ', ε', 5, Τόμ. Δ', σελ. 256 »γενομένου δὲ τούτου, ἀετός τις ἐξ αὐτῆς ἀνέπτατο". Ηρβ. ΟΗ', λζ', 5, Τόμ Δ', σελ. 338 »περιστερά τις ἐπὶ εἰκόνα Σεουήρου . . . ἐν τῷ συνεδρίῳ ἀνακειμένην ἐπέπτατο". ΝΗ', ε', 7, Τόμ. Γ', σελ. 271 »κόρακες δὲ δὴ περιπτάμενοι καὶ περικρώξαντες αὐτὸν ἀπέπταντο ἀθρόοι πρὸς τὸ οἴκημα". Ἀλλὰ Ν', η', 2, Τόμ. Β', σελ. 392 »ἔπειτα δὲ καὶ ἐπὶ τοὺς ἄλλους πάντας ὡς εἰπεῖν τοὺς ἀγιωτάτους ἐπέπτετο"). Ἰώσηπ. Ἀρχαιολ. Α', ι', 3 »οἰωνῶν ἐφιπταμένων ἐπιθυμίᾳ τοῦ αἵματος". Γ', α', 5 »ἐφίπτανται τὴν μεταξὺ θάλασσαν ὑπερελθόν". Ἰουδ. Πολ. Γ', ζ', 20 »διίπτατο τὸ πῦρ ἐπινοίας τάχιον". Ἀππιαν. Ἰβηρ. 71 »ὀξέως, οἷα δὴ λῃστήρια, μεθιπταμένους δυσεργὲς ἡγούμενος εἶναι καταλαβεῖν". Λιβυκ. 100 »ἐφίπτατο ἐξ ἀφανοῦς". Ἐμφυλ. Δ', 83 »περιθέοντός τε καὶ μεθιπταμένου" καὶ »ἐπεφαίνετο ἄφνω καὶ ἀφιπτάμενος ἠνώχλει". Πορφύρ. περὶ Ἀποχ. Ἐμψύχ. Α', 25 »καὶ πειρώμενον ἐφίπτασθαι". Ἀρτεμίδ. Ὀνειροκρ. Β', 20 (σελ. 112, 8 Ἐρχ.) »ἱπτάμενον δὲ ἡσυχῇ καὶ ἀτάραχον ἰδεῖν ὁμοίως ἀγαθὸν ἀνδρί". Β', 68 (σελ. 158, 19) »ἵπτασθαι δοκεῖν" καὶ (σελ. 158, 25) »ἵπτασθαι πτερὰ ἔχοντα" καὶ (σελ. 158, 27) »οἱ ἱπτάμενοι ὄρνιθες" καὶ (σελ. 159, 4) »ὥσπερ γὰρ τὰ ἱπτάμενα" καὶ (σελ. 159, 6) »δοκεῖν ἵπτασθαι" καὶ (σελ. 159, 8) »τὸ περὶ τοὺς κεράμους ἵπτασθαι" καὶ (σελ. 159, 16) »ἵπτασθαι μετὰ ὀρνέων" καὶ (σελ. 160, 8) »ἵπτασθαι οὐκ ἀγαθόν" καὶ (σελ. 161, 4) »εὔλυτος γὰρ ὁ ἱπτάμενος" καὶ (σελ. 161, 6) »ἐοίκασι γὰρ οἱ τυφλοὶ τοῖς ἱπταμένοις" καὶ (σελ. 161, 8) »καθεζόμενον ἵπτασθαι". Δ', σελ. 200, 22 »ἵπτασθαι δὲ δόξει κτέ.". Δ', 47 (σελ. 229, 16) »ἀφίπτασθαι Αἰγύπτου ἐκεῖσε". Ε', 69 (σελ. 267, 16) »ἵπτασθαι πλησίον τῶν κεράμων". Ε', 70 (σελ. 268, 1) »ἔδοξέ τις ἵπτασθαι". Ἀχιλλ. Τάτ. Α', 12 »οἰστρηθεὶς τῷ φόβῳ δι' ἀέρος ἵπτατο". Β', 5 »ἵπταμαι καὶ τοξεύω καὶ φλέγω". Β', 12 »ὁ γὰρ ὄρνις ἔτυχεν ἱπτάμενος ἐκεῖ". Β', 18 »ὄρνιθος δίκην ἀφίπτανται". Β', 22 »περιιπτάμενος ἅμα καὶ τῷ

βόμβῳ καταυλῶν" καὶ »ὁ δὲ κώνωψ περιπτάμενος αὐτοῦ τὴν κόμην" (Ηρβ. καὶ Γ', 2 καὶ 25: ἵπτατται. ς', 10 δίς: ἐξίπτανται). Ἡλιόδ. Λίθιοπ. Ε', 1 »μονονοὺ διιπταμένην τὴν ὁλκάδα παρημείβοντο". Ι', 28 »τοῖς τε νώτοις ἐφίπτανται". Μάξ. Τύρ. Λόγ. Β', 4 »καὶ ἀνίπτασθαι ἀμήχανον". ς', 6 »καὶ πᾶσαν γῆν ὀξέως ὑπεριπτάμενον". ΙΒ', 3 »οὐ πρότερον ἀνίπτανται". ΚΒ', 6 »πάντα δὲ ἀέρα διιπταμένη". Κς', 6 »καὶ ἀνίπτασθαι ἀδύνατοι". Εὐνάπ. σελ. 456, 41 Διδ. »ἄρτι διίπτασθαι τοῦ σώματος μέλλουσαν". Ἰμέρ. Ἐκλ. ΙΔ', 4 »καὶ δὴ εἰς οὐρανὸν ἀηδόνες ἀπὸ γῆς ἵπτανται". Λόγ. ΙΔ', 10 »αὖθις κελεύει τοῖς κύκνοις ἐξ Ὑπερβορέων ἀφίπτασθαι". ΙΔ', 37 »κατὰ τοὺς ἀττικοὺς λειμῶνας ἱπτάμεναι". Λισώπ. Μῦθ. 140 Ἀλμ. »ἐξ ἀριστερῶν ἐπὶ δεξιὰ παριπτάμενον". 149 »ἐπειδὴ περιίπτατο". 397 »ἀλλ' ἐγὼ ἄστρων ἐγγὺς ἵπταμαι καὶ φωνῶ" (Ηρβ. καὶ 397, β'), κτλ. κτλ. Μόσχ. Α', 16 »καὶ πτερόεις ὅσον ὄρνις ἐφίπτανται ἄλλοτ' ἐπ' ἄλλως". Γ', 45 »ἱπτάμενος περὶ σᾶμα κινύρατο Μέμνονος ὄρνις" (Καὶ παρὰ Θεοκρίτῳ ΚΓ', 59 ἀντὶ τοῦ »λαϊνέας δὲ ἵστατ' ἀπὸ κρηπῖδος ἐς ὕδατα" ἔγραψεν ὁ Ἴγτιος ἵπτατ', ὅπερ καὶ ἄλλοι παρέλαβον). Βάβρ. ΞΕ', 4 »ἄστρων σύνεγγυς ἵπταμαί τε καὶ κρώζω". Νόνν. Διονυσ. Ε', 187 »ὧν τάχα φαίης ἱπταμένων πτερύγων ἀνεμώδεα δοῦπον ἀκούειν". Ε', 245 »ἐφιπταμένη δὲ κορύμβοις χείλεσιν ἀκροτάτοισιν ἀμέλγεται ἄκρον ἐέρσης". Ὀππιαν. Ἁλιευτ. Β', 536 »διὰ γὰρ βέλος ὥστε θάλασσαν ἵπτανται". Ε', 193 »τὰ δ' ἀνίπτανται οὐδὲ ἑμίμνει". Μανέθ. Γ', 443 »ἱπταμένους γυίοις ἐναλίγκιον ὀρνίθεσσιν". Ἀνθολ. Παλατ. Ε', 212 »μὴ καί ποτ' ἐφίπτασθαι μὲν κτέ.". Π', 123 »Ἑλλάδα καὐσονίην μοῦσαν ἐφιπτάμενος". Θεόδ. Πρόδρ. Θ', 158 »ὑπὲρ κορυφῆς ἀφανῶς ἱπταμένη", κτλ. (Ἡσύχ. Τόμ. Β', σελ. 568 Σμιδ. »ἵπτανται: πέτεται". σελ. 588 »Καθίπτανται: ἐπάνω πέτεται". Τόμ. Γ', σελ. 389 »Προσίπτανται: προσπέτεται"). Ηρβ. καὶ Λοβέκκιον Φρυν. σελ. 325 κἑξ. Τὰ παλαιότατα τοῦ ἵπταμαι παραδείγματα εἶνε τὰ ἑξῆς. Θεόφρας. περὶ Φυτ. Αἰτ. Β', β', 5 (Τόμ. Β', σελ. 63 Τεῦβν.) »ζητοῦντες δὲ τὴν ὁμοίαν τροφὴν ἐκπέτονται καὶ προσίπτανται τοῖς ἐπὶ τῆς συκῆς ἐρινοῖς". Κλείταρχ. παρὰ Δημητρ. περὶ Ἑρμην. 304 (Ῥητ. Ἑλλ. Σπεγγ. Τόμ. Γ', σελ. 328) »κατανέμεται μὲν τὴν ὀρεινήν, εἰσίπτανται δὲ εἰς τὰς κοίλας ὀρῦς" (Ηρβ. Κ. Μυλλήρου

Script. Rer. Alex. Magn. σελ. 78). Καλλίξεν. Ῥόδ. παρ' Ἀθην. Ε', σ. 200, γ' »περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδόν". Καὶ παρ' Ἀριστοτέλει φέρεται ἐν τῇ περὶ τὰ ζῷα ἱστορίᾳ »σχεδὸν γὰρ περὶ Πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις πρῶτον ὅσον περιιπταμένη περὶ τὸ πλοῖον ἀφανίζεται εὐθύς" (Ε', θ', 4, Τόμ. Γ', σελ. 82, 8 Διδ.). Ἀλλ' ὁ ἐνεστὼς εἶνε, νομίζομεν, ἀνάρμοστος ἐν τῷ χωρίῳ τούτῳ, καὶ πρέπει νὰ μεταβληθῇ εἰς ἀόριστον περιπταμένη (Πρβ. Η', ιβ', 2, σελ. 156, 46 »ὅταν ὑπερπτῶνται τὸ ὄρος". Ἀντὶ τοῦ ὑπερπτῶνται γραπτέον ὑπέρπτωνται. Ἴδε Κόβητον *Var. Lect.* σελ. 265 καὶ σελ. 306) [1]). Τὸ παρ' Εὐριπίδῃ Ἰφιγ. Αὐλ. 796 »ὡς ἔτυχεν Λήδα [Μουσγράβιος »ὥς σ' ἔτεκεν Λήδα"] ὄρνιθ' ἱπταμένῳ" διώρθωσεν ὁ Μάρκλανδος μεταβαλὼν εἰς »ὄρνιθι πταμένῳ". Ἐν ἀποσπάσματι αὐτοῦ ἐκ τοῦ Πολυΐδου ἀναγινώσκεται:

Εἰ μὲν γὰρ ἐκ γῆς ἐς θάλασσαν ἵπτατο
ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν
τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·
νῦν δ' ἐκλιπὼν ἦθή τε καὶ νόμον βίου
δεῦρ' ἔπτατ'. Οὔκουν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν.

Ἀλλ' ὀρθῶς ὁ Ματθίας ἔγραψεν ἔπτατο (Εὐριπ. Τόμ. Θ', σελ. 509. Πρβ. Πόρσωνα Εὐριπ. Μηδ. 1, σελ. 14 Λειψ.). Εὐκολωτάτη τοῖς ἀντιγραφεῦσιν ἡ τοῦ ἔπτατο εἰς ἵπτατο παραφθορὰ ἦτο. Τὸ ἐκ τῆς Ἠλέκτρας τοῦ Εὐριπίδου στίχ. 944 »ἐξέπτατ' οἴκων" γράφεται παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ πρὸς Μαθημ. ΙΑ', 54 »ἐξίπτατ' οἴκων", τοῦ δ' ἐκ τῶν Ὀρνίθων τοῦ Ἀριστοφάνους στίχ. 56 »ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν τοῖν ποδοῖν" φέρεται παρὰ Σουΐδᾳ Τόμ. Α', Μέρ. α', σελ. 314 Βερν. γραφὴ »ἀνιπτάμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν" (ἐν ᾧ Τόμ. Β', Μέρ. α', σελ. 999 ἐτηρήθη ἡ γνησία ἀνεπτόμεσθ'). Ἴδε Πόρ-

---

[1]) Παρ' Ἀθηναίῳ Θ', σ. 389, α' κἑξ. λέγεται »Φησὶ δ' Ἀριστοτέλης περὶ τοῦ ζώου τούτου τάδε: .... ὅταν δὲ γνῷ (ὁ πέρδιξ) ὅτι θηρεύεται, προελθὼν τῆς νεοττιᾶς κυλινδεῖται παρὰ τὰ σκέλη τοῦ θηρεύοντος ἐλπίδα ἐμποιῶν τοῦ συλληφθήσεσθαι, ἐξαπατᾷ τε, ἕως ἂν ἀποπτῶσιν οἱ νεοττοί· εἶτα καὶ αὐτὸς ἐξίπταται". Ἀλλὰ τὸ ἀπόσπασμα τοῦτο εἶνε πάντως ἐκ νόθου συγγράμματος τοῦ Ἀριστοτέλους (Πρβ. Βαλεντ. Ῥώσην Ἀριστοτ. Ψευδεπιγρ. σελ. 287).

σωνα ἔνθ. ἀνωτ. ποιούμενον λόγον καὶ περὶ τοῦ ἐν τοῖς νόθοις τῆς ἐν Αὐλίδι Ἰφιγενείας στίχοις »ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο" (στίχ. 1608). Γελοῖον εἶνε τὸ παρ' Ἡσυχίῳ Τόμ. Δ', σελ. 204 Σμιδ. »Ὑπερέπτατο: ὑπερίπτατο, ὑπερέδραμεν, ὑπερεπήδησεν" (? Ὑπέρπτατο: ὑπερέπτατο, κτέ.).

Καὶ ἀόριστος ἐπετάσθην ἐν τῇ περὶ ἧς ὁ λόγος χρηστομαθείᾳ εὑρίσκεται κατὰ τὴν πλημμελῆ τῶν νεωτέρων χρῆσιν κείμενος, καθ' ἣν ὡς ἰσοδύναμος τῷ ἐπτόμην παραλαμβάνεται. Τόμ. Ε', σελ. 224:

Ἔρως πότ' [Γρ. ποτ'] ἐν ῥόδοισι
Κοιμωμένην μέλισσαν [Ταὐτίγραφα ἔχουσι μέλιτταν]
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
Τὸν δάκτυλον. πατάξας [Ταὐτίγραφα παταχθείς]
Τὰς χεῖρας, ὠλόλυξε·
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μῆτερ [Ταὐτίγραφα μᾶτερ], κτέ.

Πρβ. Νικήτ. Εὐγενειαν. Δ', 313:

Κοιμωμένην μέλιτταν ἐν ῥόδοις πάλαι
τῆς ποντογεννοῦς Ἀφροδίτης παῖς Ἔρως
οὐκ εἶδεν· ἐτρώθη δὲ δακτύλῳ μέσῳ
καὶ στυφελιχθεὶς ἐπτερύξατο τρέχων
πρὸς τὴν τεκοῦσαν, Μῆτερ, οἴχομαι, λέγων, κτέ.

Ἴδε Μελόρνιον Ἀνακρεοντ. σελ. 29. Ἐπί τίνος οἱ ἔνδοξοι τὸ ἐπετάσθην σημασίας μετεχειρίζοντο οὐδεὶς ὑπάρχει ἴσως ὁ μὴ γινώσκων. Πετάννυμαι (ποιητ. πίτνημαι. Πρβ. σκεδάννυμαι-σκίδνημαι), ἐπετάσθην, πεπέτασμαι (παρὰ τοῖς μὴ Ἀττικοῖς) καὶ πέπταμαι σημαίνει παρ' αὐτοῖς ἁπλοῦμαι (ἐξαπλοῦμαι, ἀνοίγομαι), ἡπλώθην (ἐξηπλώθην, ἀνεῴχθην), ἧπλωμαι (ἐξήπλωμαι, ἀνέῳγμαι). »Αἱ δὲ (πύλαι δηλ.) πετασθεῖσαι τεῦξαν φάος" εἶπεν ὁ ποιητὴς (Ἰλ. Φ, 538) καὶ »πετάσθησαν δέ οἱ ὦκα" (τὰ θύρετρα δηλ. Ὀδ. Φ, 50) καὶ »ἀμφὶ δὲ πέπλοι πέπτανται" (Ἰλ. Ε, 195. Πρβ. καὶ Ρ, 371. Ὀδ. Ζ, 45) καὶ »πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσάκε λαοὶ ἔλθωσι προτὶ ἄστυ πεφυζότες" (Ἰλ. Φ, 531. Πρβ. καὶ Μ, 122), καθάπερ ὁ Πίνδαρος »ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι" (Νεμ. Θ', 2 Βερκ. Πρβ. καὶ Ἡρόδ. Η', 60. Θ', 9 καὶ ἄλλ.). Τίς δ' ἀγνοεῖ τὸν παρ' Ἡροδότῳ χρησμὸν (Α', 62):

Ἔρριπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται,
θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός;

Τὰ πρῶτα τοῦ ἐπετάσθην ἀντὶ τοῦ ἐπτόμην παραδείγματα ἀπαντῶσι παρ' Ἀριστοτέλει. Περὶ τὰ Ζῷ. Ἱστορ. Θ', μ', 5 (Τόμ. Γ', σελ. 195, 53 Διδ.) »διατρίβουσι δ' οἱ κηφῆνες τὰ μὲν πολλὰ ἔνδον· ἐὰν δ' ἐκπετασθῶσι, προσφέρονται ῥύβδην ἄνω πρὸς τὸν οὐρανόν". Θ', μ', 7 (σελ. 196, 17) »καὶ οὐ θιγγάνει ἄλλου γε, ἕως ἂν εἰς τὸ σμῆνος εἰσπετασθῇ"[1]). Ἴδε καὶ Λουκιαν. Ῥητ.

---

[1]) Σημειωτέον δ' ὅτι καὶ ἐνεστὼς πέταμαι ἐν τοῖς τοῦ Ἀριστοτέλους ἀντὶ τοῦ πέτομαι ἀναγινώσκεται. Περὶ Ζῴ. Μορ. Δ', 14 (Τόμ. Γ', σελ. 503, 57 Διδ.) »ὡς δ' οὐκ ὢν ὄρνις οὔτε πέταται μετεωριζόμενος, κτέ.". περὶ Πορ. Ζῴ. Θ' (Τόμ. Γ', σελ. 311, 23) »καὶ τὰ πετόμενα δὲ καὶ τὰ νέοντα τὰ μὲν τὰς πτέρυγας εὐθύνοντα καὶ κάμπτοντα πέταται κτέ.". Ι' (σελ. 312, 10) »ἀλλ' ἀντὶ τοῦ οὐροπυγίου πέταντται τοὺς πόδας ἀποτείνοντα". περὶ τὰ Ζῷ. Ἱστορ. Ε', κβ', 7 (Τόμ. Γ', σελ. 97, 46) »τὸν ὑμένα περιρρήξας ἐκπέταται". Ε', λβ', 3 (σελ. 102, 50) »ἐκπέταται τοῦτο ἐγκαταλιπὼν ὁ ψήν". Θ', μ', 10 (σελ. 197, 7) »ἃ πτερούμενα ἐκπέταται" (Ἐν ᾧ Ε', ιθ', 4, σελ. 93, 41 »περιρρήγνυται τὸ κέλυφος, καὶ ἐκπέτεται ἐξ αὐτῶν πτερωτὰ ζῷα". Ηρβ. καὶ Π', 16, σελ. 161, 8: ἐκπετόμενοι). Θ', α', 3 (σελ. 173, 13) »τῆς δ' ἡμέρας καὶ τὰ ἄλλα ὀρνίθια τὴν γλαῦκα περιπέταται, ὃ καλεῖται θαυμάζειν, καὶ προσπετόμενα τίλλουσι". Θ', 43 (σελ. 203, 16) »λίχνον δ' ὂν καὶ πρὸς τὰ μαγειρεῖα καὶ τοὺς ἰχθύας καὶ τὴν τοιαύτην ἀπόλαυσιν κατὰ μόνας προσπέταται". Ηρβ. καὶ Θεόφρας. περὶ Φυτ. Ἱστορ. Ζ', ιγ', 3 (Τόμ. Α', σελ. 198 Τεῦβν.) »εἶθ', ὅταν ὁ ἀνθέρικος αὐξηθῇ, διεσθίον ἐκπέταται". περὶ Φυτ. Αἰτ. Α', ε', 4 (Τόμ. Β', σελ. 8) »ὅπερ ἐκπέταται, διαχασκόντων τῶν σφαιρίων". Οὕτω καὶ παρὰ Πλουτάρχῳ Ἠθικ. σελ. 916, 25 Διδ. »διαπόντιος πέταται". σελ. 1178, 6 »οὐδ' ἀετοὶ πέτανται καὶ πέρδικες". σελ. 1183, 46 »πέτανται γάρ, ὅταν ᾖ πνεῦμα κτέ." καὶ παρ' ἄλλοις μεταγενεστέροις. Λουκιαν. Ψευδολογ. § 29 (Τόμ. Γ', σελ. 300 Ἰακβ). »ἐῶ τὰ ἀρχαῖα, τὸ τριῶν μηνοῖν καὶ τὸ ἀνηνεμία καὶ τὸ πέταμαι καὶ τὸ ἐκχύνειν καὶ ὅσα ἄλλα καλὰ τοῖς σοῖς λόγοις ἐπανθεῖ". Μοῖρις σελ. 311 »Πέτομαι ἐν τῷ ο καὶ πέτεται ἀττικῶς, πέταμαι ἐν τῷ α καὶ πέτατται ἑλληνικῶς". Θωμ. Μάγ. σελ. 277, 5 Ῥισχ. »Πέταμαι οὐδεὶς τῶν ῥητόρων [εἶπεν] ἀλλὰ πέτομαι" (Ηρβ. Πειρσῶνα Μοίρ. σελ. 311 κἑξ. καὶ Κόβητον *Var. Lect.* σελ. 306 κἑξ.).

Διδασκ. § 6 (Τόμ. Γ', σελ. 175 'Ιακβ.) »οὐδέν σε κωλύσει ἤδη ῥήτορα δοκεῖν μιᾶς οὐδὲ ὅλης ἡμέρας ὑπερπεταστόεντα τὸ ὄρος ἐκ Περσῶν ἐς Λίγυπτον". Διόδ. Σικελ. Δ', να', 4 (Τόμ. Α', σελ. 225, 49 Διδ.) »ἀπεφαίνετο γὰρ ἐπὶ δρακόντων ὀχουμένην τὴν Ἄρτεμιν δι' ἀέρος ὑπερπεταστόῃναι πολλὰ μέρη τῆς οἰκουμένης". Αἰλιαν. περὶ Ζῴ. Η', 22 »καὶ ἀναπεταστοὺς ἐπὶ τοῦ τέγους ἑαυτὸν ἐκάθισεν". Ἀθήν. Θ', σ. 395, α' »μιᾶς προπεταστοείσης ἐκ τοῦ πελάγους περιστερᾶς". Σοφ. Μανασσ. Ζ', 49 »κἂν πεταστῇς εἰς οὐρανόν", κτλ. (Πρβ. Ἡσύχ. Τόμ. Α', σελ. 180 Σμιδ. »Ἀναπτομένας: ἀναπεταστοείσας". Τόμ. Γ', σελ. 402 »Πταμένη: πεταστοεῖσα, διελθοῦσα". Οὕτω καὶ »Ἐκπτήσονται: ἐκπεταστοήσονται" Τόμ. Β', σελ. 51). Οἱ ἔσχατοι τῶν μεταγενεστέρων ἔλεγον καὶ ἐπέτασα ἀντὶ τοῦ ἐπτόμην· ἔτι δὲ καὶ πετάω-ῶ ἀντὶ τοῦ πέτομαι[1]). Εὐ-

[1]) Παρὰ Λουκιανῷ εὑρίσκεται ἀναπετῶ ἀντὶ τοῦ ἀναπετάννυμι ἐν τῷ Περὶ τοῦ μὴ Ῥᾳδ. Πιστ. τῇ Διαβ. § 21 (Τόμ. Γ', σελ. 278 'Ιακβ.) »τὰς χεῖρας ὀρέγουσαι καὶ τὰς πύλας ἀναπετῶσαι κτέ." ('Εν ᾧ § 30, σελ. 282 »καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν". Πρβ. καὶ Δί. Τραγῳδ. § 33, Τόμ. Β', σελ. 499 »καὶ ἀπάγουσαι τὰ νέφη ἀναπεταννύτωσαν τὰς πύλας τοῦ οὐρανοῦ". Ἴδε καὶ Κόβητον *Var. Lect.* σελ. 324). Τὸ πετῶ ἐσχηματίσθη ἐκ τοῦ ἐπέτασα καθ' ὃν τρόπον τὸ κρεμῶ ἐκ τοῦ ἐκρέμασα. Ἐκ τοῦ ἐπέτασα ἔπλασαν οἱ μεταγενέστεροι καὶ ἐνεστῶτα πετάζω, καθάπερ σκεδάζω ἐκ τοῦ ἐσκέδασα. Ἰὼβ Κς', 9 »ὁ κρατῶν πρόσωπον θρόνου, ἐκπετάζων ἐπ' αὐτὸν νέφος αὐτοῦ" (Πρβ. Κς', 7 »ἐκτείνων βορέαν ἐπ' οὐδέν, κρεμάζων γῆν ἐπὶ οὐδενός" ἀντὶ τοῦ κρεμαννύς). Ἀρεταῖ. σελ. 195 Ἑρμερ. »ἠδὲ ἐπιπετάζειν τῷ χωρίῳ". Ἡσύχ. Τόμ. Γ', σελ. 326 Σμιδ. »Πετάζει: ἁπλοῖ, σκεπάζει" καὶ »Πετάσειεν: ἁπλώσειεν, κουφίσειεν, ἀπὸ ἐνεστῶτος τοῦ πετάζω" ('Εν Τόμ. Δ', σελ. 40 λέγεται »Σκεδάζει: σκορπίζει, ἀθετεῖ, ταράττει, ἐγχέει, καταργεῖ". Ἴδε Κόβητον *Var. Lect.* σελ. 362 καὶ *Nov. Lect.* σελ. 251 κελεύοντα νὰ γραφῇ συγχεῖ ἀντὶ τοῦ ἐγχέει. Πρβ. καὶ Μνημοσ. Τόμ. Η', σελ. 67 καὶ Ναβῆρον Φωτ. Λεξ. Τόμ. Β', σελ. 160. Ὁ Κοραῆς ἔγραψεν ἐν τῷ Στρατηγικῷ τοῦ Ὀνησάνδρου ΜΒ', 3, σελ. 135. 175 »ὡς καλὸν παλαιστὴν προδεικνύειν μὲν καὶ σκεδάζειν εἰς πολλὰ μέρη δεῖ κτέ." ἀντὶ τοῦ σκευάζειν, ἀνθ' οὗ φέρεται καὶ σκιάζειν. Δὲν φαίνεται ἔλλογος ἡ γραφὴ τοῦ Κοραῆ). Εὐστάθ. σελ. 605, 8 »Θέμα δὲ τοῦ πετάσας ἢ τὸ πετῶ κοινότερον ἢ ἐκ τοῦ πέτω παράγωγον πετάζω, οὗ καὶ

στάθ. Ὑσμίν. καὶ Ὑσμιν. Δ', 21 »πρὸς ἣν κατεπέτασα". Γεωπον. ΙΕ', β', 37 »καὶ ὅταν ἐκπετάσωσιν ἀνοιγομέναις ταῖς θυρίσιν". Αἰσώπ. Μῦθ. ΡΛΓ' παρὰ Φουρίᾳ σελ. 81 »ἐπεθύμησε καὶ αὐτὴ πετάσαι". ΤΝΒ', σελ. 143 »ἰκτῖνος ὅφιν ἄνω πετάσας φέρει". ΡΙΘ', σελ. 52 »ἀνεπέτασεν ἐπάνω τῶν δωμάτων". ΥΙΗ', σελ. 169 »προσπετάσας τοῖς ποσὶν ἦρε τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φάκελλον" (Πρβ. καὶ ΚΓ', σελ. 13 »ὁ δὲ πεταθεὶς καὶ λαγὼν ἁρπάσας κτέ.". Ἴδε καὶ Λοβέκκιον Φρυνίχ. σελ. 581 κέξ.). Θεόδ. Πρόδρ. Δ', 129 »στρουθοὶ νεογνοὶ καὶ πτέρυξιν ἠρμένοι ὑπερπετῶντες τὴν κάραν τοῦ σατράπου". Παρὰ τῷ Σοφῷ Μανασσῇ ἀναγινώσκεται Β', 90:

Κἂν Ἄτλαντος νιφόεντας ὑπερπηδήσῃ πάγους,
κἂν τοῖς βυθίοις ἐγκρυβῇ τοῦ Τρίτωνος θαλάμοις,
κἂν ὑποδὺς ὠκεανὸν ὑπόβρυχα μιμνάζῃ,
κἂν πτερωθεὶς ὡς ἀετὸς Λιβύην ὑπερπέτῃ
καὶ τὰ παρακαυκάσια καὶ τὰ Γαδείρων πέρα.

ἔγνωσται ἡ χρῆσις". σελ. 1538, 57 »Τοῦ δὲ δυνάσθη ὁ ἐνεστὼς δυνάζω ἄχρηστος μὲν πάντως, ποιητικώτερος δέ [Τί τοῦτο σημαίνει, πολυμαθέστατε ἐπίσκοπε, τὸ »ἄχρηστος μὲν πάντως, ποιητικώτερος δέ"?], γενόμενος ἐκ τοῦ δύνω, ἀφ' οὗ καὶ τὸ δύνημι, οὗ παθητικὸν τὸ δύναμαι, οὗ ὄνομα δύναμις. Καθὰ καὶ ἐκ τοῦ πέτω ἢ πετῶ τὸ πετάζω, ὅθεν ὁ πέτασος, καὶ τὸ πέτημι, ἐξ οὗ τὸ πέταντται. Πάντως δὲ τῆς ἐκ τοῦ δυνάζειν συστοιχίας εἰσὶ καὶ ὁ δυνάστης καὶ τὸ δυναστεύειν καὶ ἡ δυναστεία" (Νοῦ μὲν αὐχμὸς, λέξεως δ' ἐπομβρία). Ἐτυμ. Μέγ. σελ. 666, 31 »Πέτασαν: Ἀπὸ τοῦ πετάζω πετάσω ἐπέτασα καὶ τὰ λοιπὰ δῆλα. Ἱστία λευκὰ πέτασσαν [Ἰλ. Α, 480]. Τοῦτο ἀπὸ τοῦ πέτω βαρυτόνου· πετῶ γὰρ οὐχ εὕρηται". Πρβ. καὶ σελ. 125, 6 »Ἀποπτάμενος: Ἔστι πέτω καὶ συγκοπῇ πτῶ πτᾷς καὶ πτῆμι, τὸ παθητικὸν πτάμαι πτάμενος καὶ ἀποπτάμενος. Ἐκ δὲ τοῦ πετῶ γίνεται ποτῶ, ἐξ οὗ τὸ ἀμφεποτᾶτο [Ἰλ. Β, 315], καὶ πετάζω, ἐξ οὗ τὸ ἐπετάσθη, καὶ πεταννύω πετάννυμι" (Λῆροι καὶ φλήναφοι). Κακῶς ὁ Εἰμσθίους *Die Wiederherst. d. Dram. d. Aeschyl.* σελ. 401 προτείνει νὰ γραφῇ ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας στίχ. 577 »ἐξαμπετάζων ὄνομα Πολυνείκους δίχα" ἀντὶ τοῦ »ἐξυπτιάζων ὄνομα Πολυνείκους βίαν". Ἀστειότατον τῇ ἀληθείᾳ εἶνε νὰ παριστᾶται ὁ Αἰσχύλος μεταχειριζόμενος τύπον μετὰ πολλὰς γενεὰς αὐτοῦ παρὰ τοῖς ἡμιβαρβάροις μεταγενεστέροις κατὰ ψευδῆ ἀναλογίαν ἀναβλαστήσαντα.

Ἐν τῷ Γεωπονικῷ ΙΒ', β', 33 ἀναγινώσκεται »τήν τε οἰκείαν χροιὰν λαμβανούσας καὶ περικαθεζομένας καὶ προσπετωμένας". Καὶ παρὰ τοῖς παλαιοτέροις φέρουσιν ἐνίοτε ταὐτίγραφα πετώμενος προσπετώμενος κτλ. ἀντὶ τοῦ πετόμενος προσπετόμενος κτλ. Ἐν τοῖς μετὰ τὰ Φυσικὰ τοῦ Ἀριστοτέλους Γ', ε', 10 (Τόμ. Β', σελ. 510, 1 Διδ.) »τὸ γὰρ τὰ πετόμενα διώκειν τὸ ζητεῖν ἂν εἴη τὴν ἀλήθειαν" ὑπάρχει καὶ γραφὴ πετώμενα. Παρὰ Στράβωνι Ις', δ', § 11 ἔχουσι ταὐτίγραφα καὶ »πετᾶσθαι μὲν οὐ δυνάμενοι" ἀντὶ τοῦ πέτεσθαι, καθάπερ ἐν § 12 »ὑπερπετώμεναι γὰρ τὸν καπνὸν σκοτοῦνται καὶ πίπτουσι" ἀντὶ τοῦ ὑπερπετόμεναι. Ὁ Κοραῆς προὔκρινε τὴν γραφὴν »ὑπερπεταθεισῶν γὰρ τὸν καπνόν, εἶτα σκοτουμένων καὶ πιπτουσῶν" (Πρβ. καὶ Λοβέκκιον Φρυνίχ. σελ. 581. Γραμμ. Μεγ. Βουτμ. Τόμ. Β', σελ. 271 κέξ. Στρούβιον *Opusc.* Τόμ. Β', σελ. 67 καὶ Κόβητον *Var. Lect.* σελ. 307). Παρ' Ἡροδότῳ Γ', 111 ἓν τῶν ἀντιγράφων φέρει »τὰς δὲ ὄρνιθας καταπετεωμένας κτέ." (Ἴδε Βρεδόβιον Διαλ. Ἡροδ. σελ. 355 καὶ Βαΐριον Ἡροδ. Τόμ. Β', σελ. 218 ἐκδ. β'). Ἐν τῷ Θ' τῶν Ἀνακρεοντείων στίχ. 2 ἀναγινώσκεται »Ἐρασμίη πέλεια, πόθεν πόθεν πέτασαι", ὅπερ ὁ Βρούγκιος μετέβαλεν εἰς πετᾶσαι (κατὰ τὸ ἀκροᾶσαι, καυχᾶσαι, ἐπαφᾶσαι, κτλ.), ἐγκρίναντος καὶ τοῦ Μελορνίου Ἀνακρ. σελ. 70 καὶ τοῦ Βερκίου Ποιητ. Λυρ. σελ. 814 ἐκδ. β' (Πρβ. ΚΘ', 17 »τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται"). Ἄλλοι γράφουσι πέτασσαι (Ὅμοιον τούτῳ εἶνε τὸ παρὰ Θεοκρίτῳ ἔρασσαι Α', 79 »τίς τυ κατατρύχει; τίνος, ὦγαθέ, τόσσον ἔρασσαι;". Τὰ πλείω τῶν ἀντιγράφων φέρουσιν ἔρασαι. Ὁ Βρούγκιος ἔγραψε καὶ ἐνταῦθα ἐρᾶσαι. Ἴδε Μεινέκιον Θεοκρίτ. σελ. 190 καὶ σελ. 212 ἐκδ. γ'). Πρβ. στίχ. 21 »τί γάρ με δεῖ πέτασθαι;". Β', 6 »τοῖς ὀρνέοις πέτασθαι". Πίνδαρ. Πυθ. Η', 90 Βερκ. »ἐξ ἐλπίδος πέτανται ὑποπτέροις ἀνορέαις". Νεμ. ς', 50 »πέτανται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν ὄνυμ' αὐτῶν" (Πρβ. καὶ Βοίκκιον Πινδάρ. Τόμ. Β', Μέρ. β', σελ. 668 καὶ σελ. 669. Ἴδε Ἀρήνσιον Διαλ. Δωρ. σελ. 351). Σιμωνίδ. παρὰ Πλουτ. Ἠθικ. σελ. 914, 10 Διδ. »ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον πέτανται". Ἐπίγρ. παρὰ Βερκίῳ Ποιητ. Λυρ. σελ. 496 ἐκδ. β' »ἡμῖν δ' οὐ πέτανται τοῦτο τὸ παιδάριον" (Ὑπάρχει καὶ γραφὴ πέτεται). Ἀνθολ. Παλατ. Ζ', 546 »ἡ δ' ἄγρη τύμβον ὑπερπέτανται", κτλ. Εὐστάθ.

σελ. 1216, 36 »Ὡς δηλοῖ καὶ ὁ γράψας ὡς ἀνδρὶ αὐλητῇ θεὸς νόον οὐκ ἐνέφυσεν, ἀλλ' ἅμα τῷ φυσῆν χὠ νόος ἐκπέταται. Καὶ ὅρα τὸ φυσῆν προενεχθὲν κατὰ τὸ πεινῆν, ἀγαπῆν καὶ τὰ ὅμοια. Ἔτι δὲ ὅρα καὶ τὸ ἐκπέταται προενεχθὲν ἀπὸ τοῦ πέτημι συζυγοῦντος τῷ ἵστημι". Πρβ. Ἀθήν. Π', σ. 337, ε' »Λόγος γὰρ παλαιὸς ὡς ὅτι

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν,
ἀλλ' ἅμα τῷ φυσῆν χὠ νόος ἐκπέταται".

Ἄλλοτε περὶ τοῦ πέταμαι πλείονα.

Παρατηρήσεως ἄξιον εἶνε καὶ τὸ ἐν τῇ 42 σελίδι τοῦ Α' τόμου τῆς Ῥαγκαβείου χρηστομαθείας εὑρισκόμενον »οὐκ ἐπὶ μήκιστον ἐκτείνουσι τὴν πτῆσιν ἐκ τῆς νομῆς, ἀλλὰ περιποτῶνται τοῖς σμήνεσι". Ὁ Ῥαγκαβῆς γράφει τὴν ἐξῆς εἰς τὸ περιποτῶνται σημείωσιν· »Ποιητικώτερον ἀντὶ Περιΐπτανται [Κάλλιον περιπέτονται]. Προτιμᾷ δὲ συνήθως τὰ τοιαῦτα ὁ συγγραφεὺς οὗτος". Ὁ χαρίεις δηλονότι Αἰλιανός, συγγραφεὺς εἴπερ τις καὶ ἄλλος ἄκριτος καὶ ἀπειρόκαλος καὶ κακόζηλος καὶ ψυχρολόγος, ὅστις καὶ ἀλλαχοῦ τὸ ποιητικώτερον ἢ μᾶλλον τὸ ὅλως ποιητικὸν περιποτᾶσθαι μεταχειρίζεται. περὶ Ζῴ. Β', 2 »καὶ δεῦρο καὶ ἐκεῖσε περιποτᾶσθαι". Πρβ. καὶ Β', 39 »ὁ αἰετὸς ἡσυχός ἐστι καὶ ἐπιποτᾶται παραφυλάττων". Πορφύρ. Ἄντρ. Νυμφ. 10 »οὕστινας εἰδέναι χρὴ τὰς ψυχὰς ἐπιποτωμένας τῷ ὑγρῷ τὰς εἰς γένεσιν κατιούσας" (Πρβ. καὶ Λοβέκκιον Φρυνίχ. σελ. 581 καὶ Κόβητον *Var. Lect.* σελ. 307).

Ἂς ἴδωμεν νῦν τί διδάσκει ἡμᾶς ὁ λεξικογράφος Βυζάντιος ἀνὴρ πρόφαντος σοφίᾳ καθ' Ἕλλανας ἐών. Λεξ. τῆς Ἑλλην. Γλώσσ. σελ. 629 »Ἵπταμαι, Μ. πτήσομαι (ἀόρ. Ἔπτην καὶ μσ. Ἐπτάμην κτλ.). Πετῶ" καὶ »Ἵπτω, Ἀττ. ἀντὶ Ἵπτασο, β'. ἐν. πρσ. τοῦ παρτ. τοῦ Ἵπταμαι". σελ. 1071 »Πέτομαι [συγγ. τῷ Πετάννυμι], Μ. πετήσομαι καὶ (συχνότ.) πτήσομαι (πρκ. Πέπτηκα, ἀόρ. Ἐπτάμην, ὅθεν τὸ ἀπαρ. Πτᾶσθαι καὶ Πτέσθαι) = Ἵπταμαι, πετῶ· (ἐν γέν.) κινοῦμαι (φέρομαι) μὲ ὁρμὴν, (κοιν.) πετηοῦμαι [Γρ. πετιοῦμαι]. »Ἔξω τοῦ ναοῦ πετέσθαι [Γρ. πέτεσθαι]," Στρβ. (Θ', γ', 8)." Τίς τῶν Ἀττικῶν εἶπεν ἵπτω; Ποῦ κεῖται ὁ παρακείμενος πέπτηκα; Πῶς ἐμηκύνθη τὸ α τοῦ πτάσθαι; Ἀλλὰ καὶ ἀποδράναι ἀντὶ τοῦ ἀποδρᾶναι παρὰ τῷ Βυζαντίῳ γράφεται καὶ ἄγμα ἀντὶ τοῦ ἆγμα καὶ τρύπα ἀντὶ τοῦ τρῦπα, κτλ. κτλ. Περὶ τοῦ πτᾶσθαι ἴδε τὰ ὑπὸ τοῦ περικλεοῦς

Πόρσωνος ἐν Μηδείᾳ (σελ. 13 κέξ. Λειψ.) γεγραμμένα, ὅστις περὶ τῆς τῶν τόνων ἐπιστήμης πρὸς τοὺς νέους λόγον ποιούμενος καὶ τοὺς ὀλιγωροῦντας καὶ καταφρονοῦντας αὐτῆς ἀστείως διαχλευάζων ἐπιφέρει ἐν τέλει τὸ τοῦ Συνεσίου »Ἠγώνισταί γε πρὸς τοὺς ἀμούσους ὑπὲρ Μουσῶν, οἳ καὶ κακοήθως ἀποδιδράσκουσι τὸν ἔλεγχον τῆς ἀμαθίας τῷ καταφεύγειν ἐπὶ τὴν λοιδορίαν ὧν ἠγνοήκασιν". Περὶ τοῦ ἐπτόμην καὶ ἐπτάμην θὰ διαλάβωμεν ἄλλοτε μετ' ἀκριβείας.

Ἐν τῇ αὐτῇ σελίδι ἀναγινώσκεται »Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος, ἠρώτα περὶ τῆς ὑγιείας· ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. Ὀργισθεὶς οὖν, Ἐλπίζω, ἔφη, κἀμὲ νοσήσειν, καὶ ἐλθόντι σοι, μὴ ἀποκρινεῖσθαι". Πρβ. καὶ σελ. 85 »Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί".

Οὔτε τὸ ἐπισκεπτόμενος ἔχει καλῶς ἀντὶ τοῦ ἐπισκοπῶν ἢ ἐπισκοπούμενος (Πρβ. σελ. 38 »Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος, καὶ ἤρετο, τί πράττοι; κτέ.") οὔτε τὸ ἀποκριθῆναι καὶ ἀποκριθεὶς ἀντὶ τοῦ ἀποκρίνασθαι καὶ ἀποκρινάμενος.

Οἱ Ἀττικοὶ ἔλεγον μὲν σκέψομαι καὶ ἐσκεψάμην καὶ ἔσκεμμαι (ἐνεργ. καὶ παθ.), ὅθεν σκέμμα, σκέψις, σκεπτέον (διασκεπτέον, κτλ., ἐπισκεπτέος), ἄσκεπτος (ἀπερίσκεπτος, ἀσκέπτως, ἀπερισκέπτως, ἀνεπισκέπτως, ἀξιόσκεπτος. Πρβ. καὶ τὸ παρὰ Τίμωνι σκεπτοσύνη)· ἀλλ' ἀντὶ τοῦ σκέπτομαι καὶ ἐσκεπτόμην μετεχειρίζοντο πάντοτε τὸ σκοπῶ καὶ ἐσκόπουν ἢ σκοποῦμαι καὶ ἐσκοπούμην[1]). Πλάτ. Εὐθυδ. σ. 283, γ'

---

[1]) Πλάτ. Λάχ. σ. 185, δ' »Δεῖ ἄρα καὶ τὸν σύμβουλον σκοπεῖν, ἆρα τεχνικός ἐστιν εἰς ἐκείνου θεραπείαν, οὗ ἕνεκα σκοπούμενοι σκοποῦμεν" (Πρβ. καὶ Ἱππ. Μείζ. σ. 293, ε' »Σκοπώμεθα μή πη ἄρ' ἐξαπατώμεθα. — Ἀλλὰ χρὴ σκοπεῖν"). Ξενοφ. Ἀναβ. Ε', β', 20 »Ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχαγοὶ ἐσκόπουν εἰ οἷόν τ' εἴη τὴν ἄκραν λαβεῖν .... Σκοπουμένοις δὲ αὐτοῖς ἔδοξε παντάπασιν ἀνάλωτον εἶναι τὸ χωρίον". Πρβ. καὶ Ἀπομν. Β', α', 22 »κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν; ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται" (Ἀντὶ τοῦ ἐπισκοπεῖν ἔγραψεν ὁ Πλουγέρσιος περισκοπεῖν. Ἴδε

»Σκόπει μήν, ἔφη, ὦ Σώκρατες, ὅπως μὴ ἔξαρνος ἔσει ἃ νῦν λέγεις. — Ἔσκεμμαι, ἦν δ' ἐγώ". Χαρμίδ. σ. 158, δ' »Καί μοι δοκεῖ, ἦν δ' ἐγώ, κοινῇ ἂν εἴη σκεπτέον εἴτε κέκτησαι εἴτε μὴ ὃ πυνθάνομαι, ἵνα μήτε σὺ ἀναγκάζῃ λέγειν ἃ μὴ βούλει μήτ' αὖ ἐγὼ ἀσκέπτως ἐπὶ τὴν ἰατρικὴν τρέπωμαι. Εἰ οὖν σοι φίλον, ἐθέλω σκοπεῖν μετὰ σοῦ· εἰ δὲ μή, ἐᾶν. — Ἀλλὰ πάντων μάλιστα, ἔφη, φίλον· ὥστε τούτου γ' ἕνεκα ὅπῃ αὐτὸς οἴει βέλτιον σκέψεσθαι, ταύτῃ σκόπει". σ. 165, γ' »Σκεψάμενος οὖν ἐθέλω εἰπεῖν εἴθ' ὁμολογῶ εἴτε μή. Ἀλλ' ἐπίσχες ἕως ἂν σκέψωμαι. — Σκόπει δή, ἦ δ' ὅς. — Καὶ γάρ, ἦν δ' ἐγώ, σκοπῶ". σ. 167, β' »Ἀλλὰ χρή, ἔφη, σκοπεῖν. — Ἴθι δή, ἔφην ἐγώ, ὦ Κριτία, σκέψαι". Λάχ. σ. 185, β' »Πῶς οὖν, ὃ ἐγὼ ἄρτι ἔλεγον, ἐσκοποῦμεν ἄν, εἰ ἐβουλόμεθα σκέψασθαι τίς ἡμῶν περὶ ἀγωνίαν τεχνικώτατος;". περὶ Πολιτ. Β', σ. 369, α' »Ἔπειτα οὕτως ἐπισκεψώμεθα καὶ ἐν ἑνὶ ἑκάστῳ τὴν τοῦ μείζονος ὁμοιότητα ἐν τῇ τοῦ ἐλάττονος ἰδέᾳ ἐπισκοποῦντες". σ. 369, β' »Σκοπεῖτε οὖν. — Ἔσκεπται, ἔφη ὁ Ἀδείμαντος". Λ', σ. 542, α' »Ἆρα καὶ ἐν αὐτῇ τῇ τέχνῃ ἕνι τις πονηρία, καὶ δεῖ ἑκάστῃ τέχνῃ ἄλλης τέχνης, ἥτις αὐτῇ τὸ ξυμφέρον σκέψεται, καὶ τῇ σκοπουμένῃ ἑτέρας αὖ τοιαύτης;". Γοργ. σ. 476, α' »Μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφεσβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ᾠμην; Σκοπώμεθα δὲ τῇδε". Δημοσθέν. πρὸς Λεπτίν. § 54, σ. 475 »Εἶτα ταῦτα νῦν εἰ χρὴ κύρι' εἶναι σκοποῦμεν; Ἀλλ' ὁ λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις, εἴ τις ἀκούσειεν ὡς Ἀθη-

---

Κόβητον *Nov. Lect.* σελ. 692. Πρὸς τὸ »κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν" παραβλητέον τὸ τοῦ Αἰσχίνου κατὰ Τιμάρχ. § 132 »ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτόν"). Οὕτω λέγεται ἀνασκοπῶ καὶ ἀνασκοποῦμαι, διασκοπῶ καὶ διασκοποῦμαι, κτλ. Φλυαρεῖ Θωμᾶς ὁ Μάγιστρος ἀποφαινόμενος ὅτι τὸ ἀποσκοποῦμαι εἶνε κάλλιον ἢ τὸ ἀποσκοπῶ (σελ. 7, 15 Ῥισχ.). Τοὐναντίον ἡ τῶν παλαιῶν χρῆσις εἶνε ὑπὲρ τοῦ ἀποσκοπῶ. Παρατηρητέον δ' ὅτι καὶ ἐξιχνοσκοπῶ λέγεται καὶ ἐξιχνοσκοποῦμαι παρὰ Σοφοκλεῖ Τραχ. 271 »ἵππους νομάδας ἐξιχνοσκοπῶν". Αἴ. 997 »διώκων κἀξιχνοσκοπούμενος". Ἀλλὰ περὶ τῶν τοιούτων ῥημάτων ἄλλοτε μετ' ἀκριβείας.

ναῖοι σκοποῦσιν εἰ χρὴ τοὺς εὐεργέτας ἐᾶν τὰ δοθέντ' ἔχειν. Πάλαι γὰρ ἐσκέφθαι ταῦτα καὶ ἐγνῶσθαι προσῆκεν". Ξενοφ. Ἀπομν. Β', α', 1 »Βούλει σκοπῶμεν κτέ.;" καὶ 10 »Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα;". Οἰκον. Γ', 10 »Ἐπισκέψασθαι δὲ καὶ σιτοποιόν, παραστῆναι δὲ καὶ ἀπομετρούσῃ τῇ ταμίᾳ, περιελθεῖν δ' ἐπισκοπουμένην κτέ." (Πρβ. Β', 17 »Καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὅ τι εἴη τοῦτο. Καὶ εὗρον ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα". Η', 15 »Θαυμάσας δέ, ἔφη, τὴν ἐπίσκεψιν αὐτοῦ ἠρόμην τί πράττοι. Ὁ δ' εἶπεν· Ἐπισκοπῶ, ἔφη, ὦ ξένε, κτέ.". Πλάτ. Κρίτ. σ. 48, δ'-ε' »Σκοπῶμεν, ὦγαθέ, κοινῇ .... Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν", κτλ.). Περὶ τοῦ ἐπισκοπεῖν λέγει ὁ Πολυδεύκης Γ', 108 »Ἐπὶ δὲ νοσοῦντος ἐπισκοπεῖν φησὶ Ξενοφῶν". Ἴδε Ξενοφ. Οἰκον. ΙΕ', 9 »ὅμοιος ἄν μοι δοκῶ τῷ περιιόντι ἰατρῷ καὶ ἐπισκοποῦντι τοὺς κάμνοντας". Κύρ. Παιδ. Η', β', 25 »καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει καὶ παρεῖχε πάντα, ὅτου ἔδει". Τοῦ ἐπισκοπεῖσθαι χρῆσις εὑρίσκεται ἐν τῷ κατὰ Νεκίρας λόγῳ § 56 (Δημοσθ. σ. 1364) »ἐβάδιζον γὰρ πρὸς αὐτόν, ὡς ἠσθένει καὶ ἔρημος ἦν τοῦ θεραπεύσοντος τὸ νόσημα, τὰ πρόσφορα τῇ νόσῳ φέρουσαι καὶ ἐπισκοπούμεναι" καὶ ἐν ἀποσπάσματι τοῦ Φιλήμονος παρὰ Στοβ. Ἀνθολ. Ρ', 5 :

πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα πῶς ἔχει λέγειν.

Τὸ σκέπτομαι-ἐσκεπτόμην εἶνε ἰωνικὸν καὶ ἐπικὸν ἀπαντῶν συχνάκις καὶ παρὰ τοῖς μεταγενεστέροις. Ἡρόδ. Γ', 37 »θήκας τε παλαιὰς ἀνοίγων καὶ σκεπτόμενος τοὺς νεκρούς", Δ', 196 »τοὺς δὲ Καρχηδονίους ἐκβάντας σκέπτεσθαι" (Ἐν Η', 143 ὁ κῶδιξ τοῦ Σαγκρόφτου ἀντὶ τοῦ »ἐλευθερίης γλιχόμενοι" φέρει »ἐλευθερίην σκεπτόμενοι", ὅπερ προϋκρινεν ὁ Βαλκενάριος). Ἰλ. Π, 361 »σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων", Ρ, 652 »σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αἴ κεν ἴδηαι" (Πρβ. καὶ Θέογν. 1095 »σκέπτεο δὴ νῦν ἄλλον"). Καλλίμ. Ἐπιγρ. ΞΘ', 4 (Τόμ. Α', σελ. 331 Ἐρν.) »σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει". Ἀπολλών. Ἀργον. Γ', 825 »αἴγλην σκεπτομένη". Θεόκρ. ΚΕ', 234 »πάντῃ δὲ διέδρακεν ὀφθαλμοῖσιν σκεπτόμενος". Ἄρατ. Φαινομ. 75 »σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον" (Πρβ. καὶ 96 & 157. Διοσημ. 100). Μανέθ. Α', 94 »σκέπτεο πὰρ

μέσσοιο διεκπερόωντ' ἐπὶ γοῦνα" (Ηρβ. καὶ 144. ς', 138. 222. 314). Βάβρ. ΡΓ', 14 »τί δ' οὐ προσέρχῃ, μακρόθεν δέ με σκέπτῃ;". Νόνν. Διον. ΛΖ', 207 »σκέπτεό μοι καὶ σφίγγε κυβερνητῆρι χαλινῷ". Βατραχομυομ. 135 »σκεπτομένων δ' αὐτῶν". Νουμήν. Ἡρακλεώτ. παρ' Ἀθην. Ζ', σ. 304, ς' »κεῖνο δὲ δὴ σκέπτοιο". Μάξ. Φιλ. Καταρχ. 61 »σκέπτεσθαι κεραὴν ἑλικόδρομον" (Ηρβ. καὶ 530), κτλ. Πολύβ. Β', δ', 8 »τῶν δ' ἐκτὸς οὐδὲν περισκεπτομένη". Γ', ϛδ', 7 »κατεσκέπτετο καὶ προὐνοεῖτο περὶ τῆς χειμασίας". Δ', οζ', 4 »περὶ μὲν τούτων σκέπτεσθαι καὶ διαπορεῖν ἄλλος ἁρμόσει καιρός". Δίων Χρυσός. Λόγ. Κς', Τόμ. Α', σελ. 526 Ῥεισκ. »περὶ τῶν ἰδίων ἔργων ἀτεχνῶς σκέπτονται". ΟΕ', Τόμ. Β', σελ. 407 »τοὺς σκεπτομένους παραιτήσαιτ' ἄν". Πλούτ. Τίτ. Φλαμ. Γ', 2 »καὶ τὸν Πόπλιον ἀποπέμψας κατεσκέπτετο τοὺς τόπους". Νικ. Δ', 2 »προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων". Σερτωρ. ΙΖ', 3 »ἅμ' ἡμέρᾳ προσελάσας κατεσκέπτετο τὸν τόπον". Πομπ. ΜΘ', 2 »ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν φίλων". Ἀλεξ. ΙΒ', 1 »ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς καὶ κατασκεπτομένου τὸν τόπον". Φωκ. Ε', 3 »Εἰπόντος δέ τινος τῶν φίλων Σκεπτομένῳ, Φωκίων, ἔοικας, Ναὶ μὰ τὸν Δία, φάναι, σκέπτομαι εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν κτέ." (Ηρβ. καὶ Ἠθικ. σελ. 225, 51 Διδ.). Ἀντων. ΙΓ', 1 »καὶ τῶν φίλων τοὺς πιστοὺς καταλέγοντες ἐπὶ τὴν πρᾶξιν ἐσκέπτοντο περὶ Ἀντωνίου" (Ηρβ. καὶ Ἠθικ. σελ. 142, 29. σελ. 154, 21. σελ. 284, 30. σελ. 532, 52. σελ. 614, 7. σελ. 629, 16. σελ. 787, 20. σελ. 856, 12. σελ. 1033, 31 Διδ. Ἴδε καὶ Τόμ. Ε', σελ. 152, 48). Λουκιαν. Μεν. ἢ Νεκυομ. § 18 (Τόμ. Α', σελ. 278 Ἰακβ.) »ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας καὶ διασκέπτεσθαι μετοικεῖν". Βί. Πράσ. § 27 (σελ. 337) »ἐπέχω περὶ τούτου καὶ διασκέπτομαι". περὶ τῶν ἐπὶ Μισθ. Συν. § 37 (σελ. 431) »εὐθὺς ἔτι σκεπτομένου παρακούσας". Ἑρμοτ. § 50 (σελ. 494) »ἐγὼ δὲ μετὰ σοῦ σκεπτόμενος εὗρον τὸ ἐκ τοῦ λόγου ἀποβάν". Ἀλληθ. Ἱστορ. Β', § 10 (Τόμ. Β', σελ. 87) »ἐπὶ πολὺν χρόνον ἐσκέπτετο". § 18 (σελ. 92) »ἐπέχειν δὲ ἔτι καὶ διασκέπτεσθαι". Δημών. Βί. § 57 (σελ. 286) »Ἀθηναίων δὲ σκεπτομένων κτέ.". Ἰκαρομεν. § 25 (Τόμ. Γ', σελ. 58) »ἀλλ', ὥσπερ ὁ Πύρρων, ἐπεῖχεν ἔτι καὶ διεσκέπτετο" (Ηρβ. καὶ

Μακροβ. § 2, σελ. 318). Ἀρριαν. Ἐπικτ. Διατρ. Α′, β′, 12 »Φλώρῳ σκεπτομένῳ" (Πρβ. καὶ Α′, κ′, 18). Β′, β′, 10 »καὶ λοιπὸν σκέπτου καὶ τὴν φύσιν τοῦ δικαστοῦ καὶ τὸν ἀντίδικον" (Πρβ. καὶ Β′, ια′, 24). Γ′, ζ′, 11 »ἐκεῖνο μόνον σκεπτώμεθα" (Πρβ. καὶ Δ′, α′, 152 δίς. 154. 136 δίς). Δί. Κάσσ. ΝΖ′, ια′, 7 »νοσοῦντάς τε ἐπεσκέπτετο". Ξ′, ιβ′, 1 »κάμνοντάς τε ἐπεσκέπτετο (Πρβ. καὶ ΞΘ′, ζ′, 4. ο′, 1. ΟΑ′, ια′, 3. λε′, 4. ΟΕ′, ιε′, 4). Ἰώσηπ. Ἀρχαιολ. Ζ′, α′, 3 »αὐτούς τε κατεσκέπτετο καὶ τὸν Ἀβέννηρον" (Πρβ. καὶ Ζ′, η′, 1). Θ′, ιβ′, 2 »ἐπεσκέπτετο περὶ τούτων" (Πρβ. καὶ Θ′, δ′, 4). Ι′, ζ′, 6 »τί περὶ αὐτῶν ἀφίκοιτο πρὸς τὸν βασιλέα σκέπτεσθαι" (Πρβ. καὶ ΙΑ′, η′, 5. Ἰουδ. Πολ. Α′, ς′, 5. ιγ′, 7. κγ′, 5. κε′, 2. κζ′, 3. λα′, 5. Β′, β′, 7. ις′, 4. ιη′, 4. Γ′, α′, 2, κτλ.). Ἀππιαν. Ἰβηρ. 13 »καὶ τὰς διόδους τῶν Ἀλπίων ὀρῶν κατεσκέπτετο" (Πρβ. καὶ Ἀννιβ. 48. 56. Καρχηδ. 107. Ἐμφυλ. Α′, 97. Β′, 118. 133. Γ′, 67. Ε′, 133). Ἀρτεμίδ. Ὀνειροκρ. Α′, 26 »καὶ τοῖς τὰ οὐράνια διασκεπτομένοις" (Πρβ. Α′, 80. Β′, 8. 36). Γ′, 22 »νοσοῦντα δὲ εἴ τις ἐπισκέπτοιτο". Ἀχιλλ. Τάτ. Α′, 3 »κατ' ἐμαυτὸν δὲ πονηρὰ ἐσκεπτόμην". Χαρίτ. ς′, 6 »καὶ ὁ μὲν εὐνοῦχος ἐσκέπτετο". ς′, 7 »σκέπτου δὲ μὴ περὶ σεαυτῆς μόνης" (Πρβ. καὶ Ζ′, 3. Η′, 2. Ἴδε καὶ Κόβητον Μνημοσ. Τόμ. Η′, σελ. 235). Διογ. Λαέρτ. Θ′, 70 »σκεπτικοὶ δ' ἀπὸ τοῦ σκέπτεσθαι ἀεί". Μάξιμ. Τύρ. Λόγ. ΙΖ′, 6 »ἐσκέπτετο τὰ ἴχνη τῶν ἐχόντων". Ἰμέρ. Ἐκλ. ΚΗ′, 3 »μετὰ τῶν ἔργων τὴν φύσιν σκέπτεσθαι ἄξιον". Ῥήτ. Ἕλλ. Σπεγγ. Τόμ. Α′, σελ. 325 »ὅτι δεῖ σκέπτεσθαι τὴν δύναμιν τῶν κεφαλαίων" (Πρβ. καὶ Τόμ. Γ′, σελ. 2. σελ. 380. σελ. 474. σελ. 493). Ψευδοφάλ. Ἐπιστ. Ε′, σελ. 30 Λεννεπ. »εἰ χωρὶς δυσμενείας σκέπτεσθαι ἐθελήσετε" (Πρβ. καὶ Ν′, σελ. 168), κτλ. κτλ. Ἴδε καὶ Ἰακώβ. Ἐπιστ. Α′, 27 »ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν". Ἔξοδ. ΛΒ′, 34 »ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι". Ψαλμ. Η′, 5 (Πρβ. καὶ πρὸς Ἑβρ. Β′, 6) »ὅτι ἐπισκέπτῃ αὐτόν", κτλ. Ἡσύχ. Τόμ. Α′, σελ. 498 Σμιδ. »Διασκέπτεται: διαλογίζεται". Τόμ. Β′, σελ. 167 »Ἐπισκέπτει: ἐπιβλέπει, ἐφορᾷ" (Μετατρεπτέον τὸ βάρβαρον Ἐπισκέπτει εἰς Ἐπισκέπτεται. Πρβ. Τόμ. Γ′, σελ. 44 »Λίσσει: παρακαλεῖ". Γραπτέον Λίσσεται. Ὁ Ῥουγκένιος Ἐπιστ. Κριτ. Β′, σελ. 6 προὔτεινε νὰ

μεταβληθῇ εἰς »Λίσσου: παρακάλει". Καὶ ἐπέσκεψαν φέρεται παρὰ τῷ Ἡσυχίῳ κατὰ τὴν τοῦ Σμιδιτίου ἔκδοσιν Τόμ. Β', σελ. 143 »Ἐπέσκεψαν: ἐπέβλεψαν, ἐπεῖδον". Ἀλλ' ἐν τῇ ἀλβερτείῳ ἐκδόσει Τόμ. Α', σελ. 1329 γράφεται »Ἐπεσκέψαντο: κτέ.", οὐδόλως τοῦ ἐπέσκεψαν μνημονευομένου. Παρεφθαρμένον εἶνε τὸ ἐν Τόμ. Α', σελ. 301 »Ἀσπάζει: συμπεριπατεῖ". Πρβ. καὶ σελ. 305 »Ἀστιλάζει: συμπεριπατεῖ". Ἀποστροφῆς δ' ἄξιον φαίνεται τὸ »Ἀσπάζομαι: ἀσπάζω" σελ. 301. Ἀλλὰ τὰ τοιαῦτα μετὰ πολλῆς ἀκριβείας θὰ ἐξετασθῶσιν ἀλλαχοῦ. Τοῦτο μόνον ἐνταῦθα προστίθεμεν, ὅτι ἐν ταῖς Καταρχαῖς Μαξίμου τοῦ Φιλοσόφου εἰχ. 362 ἀναγινώσκεται »δὴ γὰρ ἄνεισιν αὐτόματος, σκέψει δὲ καὶ αἱμυλίοισι λόγοισιν πρηϋνέειν θυμὸν δυσπέμφελον οἷο ἄνακτος", ἀνθ' οὗ πρέπει ἴσως νὰ γραφῇ »σκήψει δὲ καὶ αἱμυλίοισι λόγοισιν πρηϋνέει θυμὸν κτέ.").

Πλῆθος παραδειγμάτων δύναταί τις ἐκ τῶν Ἱπποκρατείων νὰ συλλέξῃ. Τόμ. Α', σελ. 128 Ἑρμερ. »σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσι ὀξέσι νοσήμασι" (Πρβ. καὶ σελ. 129. 134. 136. 148. 344. 378. 404. 561). Τόμ. Β', σελ. 26 »εἰ δέ τις σκέπτοιτο τὴν τῶν ὑγιαινόντων δίαιταν πρὸς τὴν τῶν καμνόντων" (Πρβ. καὶ σελ. 33. 203. 545. 552. 654. 676. 697. 725. 738. 852). Τόμ. Γ', σελ. 182 »σκεπτόμενον ἐς τὴν φύσιν καὶ τὸν τόπον" (Πρβ. καὶ σελ. 218. 266. 375. 377. 379. 380. 391 δίς. 592. 408. 515. 605). Τόμ. Α', σελ. 145 »ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε" (Πρβ. καὶ Τόμ. Γ', σελ. 345. 360). Τόμ. Α', σελ. 52 »ὑποσκέπτεσθαι δὲ τούτοισι τὰς ἀποστάσιας" (Πρβ. καὶ σελ. 149. 152). Τόμ. Γ', σελ. 362 »ὥστε μὴ πάμπολλα δεῖ ὁρᾶσθαι ὑποσκεπτόμενον τὸν μελεδαίνοντα" (Πρβ. καὶ σελ. 364. 378. 383. 387. Ἴδε Ἑρμερίνσιον Τόμ. Α', σελ. 134 καὶ σελ. 143. Ἐν Τόμ. Γ', σελ. 363 ἀντὶ τοῦ ὑποσκέπτεσθαι ἐξέδωκεν ὁ Λιτραῖος ἐξ ἑνὸς κώδικος ἐπισκέπτεσθαι, ὅπερ καὶ ὁ Ἑρμερίνσιος παρέλαβε). Τόμ. Β', σελ. 551 »χρὴ δὲ τὴν δίαιταν ἀποσκεπτόμενον τῆς ἀνθρώπου ἐς τὸ ὅλον σῶμα ποιέειν" (Ὑπάρχει καὶ γρ. ὑποσκεπτόμενον. Πρβ. καὶ σελ. 594. 696. 730).

Χρῆσις τοῦ σκέπτεσθαι εὕρηται καὶ παρ' Ἀριστοτέλει Ἠθικ. Νικομ. Β', β', 1 (Τόμ. Β', σελ. 15, 36 Διδ.) »οὐ γάρ, ἵν' εἰδῶμεν τί ἐστιν ἡ ἀρετή, σκεπτόμεθα, ἀλλ' ἵν' ἀγαθοὶ γενώμεθα" (Πρβ. καὶ Ψευδαριστοτέλ. Ἠθικ. Μεγ. Α', ιγ', 3, Τόμ. Β', σελ. 142, 4 »πρὸς τὸ ἐπισκέπτεσθαι εἰ ἔστιν ἑκούσιον". Φυσιο-

γνωμ. Α', Τόμ. Δ', σελ. 2, 24 »οὐκ ἂν εἴη καθ' ἕκαστον τῶν ζώων σκέπτεσθαι") καὶ παρὰ Μενάνδρῳ Ἀποσπ. 546 Μειν. »Ἂν μὲν πλέωμεν ἡμερῶν που [? πλοῦν] τεττάρων, σκεπτόμεθα ταναγκαῖ' ἑκάστης ἡμέρας". 681 »ὅταν τι μέλλῃς τὸν πέλας [Γρ.: τῶν πέλας] κατηγορεῖν, αὐτὸς τὰ σαυτοῦ πρῶτον [Μεινέκ.: πρῶτ'] ἐπισκέπτου κακά". Ἀλλ' οὔτε ὁ Ἀριστοτέλης οὔτε ὁ Μένανδρος εἶνε νομοθέται τοῦ ἀκριβοῦς ἀττικισμοῦ. Παρὰ Θουκυδίδῃ Η', 66 φέρεται μὲν ἐν ἅπασι τοῖς ἀντιγράφοις »Ἐβούλευον δὲ οὐδὲν ὅ τι μὴ τοῖς ξυνεστῶσι δοκοίη, ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν καὶ τὰ ῥηθησόμενα πρότερον αὐτοῖς προὐσκέπτετο". Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶνε ἀναντιλέκτως προὔσκεπτο (Πρβ. Πόπτον Θουκυδ. Μέρ. Β', Τόμ. δ', σελ. 585 καὶ Μέρ. Γ', Τόμ. δ', σελ. 751 ἐκδ. μεγ.), ἂν καὶ σφοδρῶς ἀντιλέγῃ ὁ Διδῶτος τὰ ἐξῆς ὑπὲρ τοῦ προὐσκέπτετο γράφων Θουκυδ. Τόμ. Δ', σελ. 460 »Poppo écrit προὔσκεπτο, sans autorité de mss., par la raison, dit Goeller dans ses Notes, que d'après l'observation d'Elmsley, ad Eur. Heraclid. v. 148, les Attiques ne disent jamais σκέπτομαι, mais toujours σκοπῶ ou σκοποῦμαι. Nous n'avons pas cru devoir adopter cette correction fondée sur une simple conjecture. Lucien (*vit. auct.* p. 569) dit ἐπέχω περὶ τούτου καὶ διασκέπτομαι; et nous lisons aussi dans Plutarque (*in Phocione*, § 5,) εἰπόντος δέ τινος τῶν Φίλων, σκεπτομένῳ, Φωκίων, ἔοικας· Ναὶ μὰ τὸν Δία (φάναι), σκέπτομαι, εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν, ὃν μέλλω λέγειν πρὸς Ἀθηναίους. Malgré l'observation d'Elmsley, nous avons cru devoir conserver προὐσκέπτετο que donnent tous les manuscrits".

Οὗτοι, μὰ τὴν Δήμητρα, δύναμαι μὴ γελᾶν·
καίτοι δάκνω γ' ἐμαυτόν· ἀλλ' ὅμως γελῶ.

Ὅτε τὰ σοφὰ ταῦτα καὶ δεξιὰ ὁ ἀστεῖος ἔγραφε Γαλάτης καταγελῶν πως τῆς τοῦ Ἐλμσληΐου καλλίστης παρατηρήσεως ἐνόμιζε πάντως, σεμνυνόμενος ἴσως καὶ ὀγκούμενος, ὅτι δι' ὁλοσχοίνου ἀβρόχου ἔμελλε ν' ἀπορράψῃ τῶν παλαιπώρων κριτικῶν τὰ στόματα ἐπισείων μάλιστα τὰ δύο ἐκεῖνα παραδειγμάτια, ἅπερ ἡ μεγάλη αὐτοῦ ὀξυδέρκεια ἀνεῦρε, τὸ λουκιάνειον δηλονότι καὶ τὸ πλουτάρχειον. Ἀλλὰ πρῶτον μὲν παταία φαίνεται τοῦ ἀνδρὸς ἡ σπουδὴ Φιλοτιμουμένου τὴν παρὰ Θουκυδίδῃ χρῆσιν διὰ μαρτυρίων ν' ἀποδείξῃ ἐκ τοῦ Λουκιανοῦ καὶ τοῦ Πλουτάρχου. Τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί; Ἔπειτα δὲ πᾶς, νομίζομεν, ὅστις ἔξιν

τινὰ ἐν τοῖς ἑλληνικοῖς λόγοις ἔχει παραυτίκα κατανοεῖ τὸ ἀπρόσφορον τοῦ παρατατικοῦ ἐν τῷ προκειμένῳ χωρίῳ, ἔνθα ἡ ἔννοια ἀπαιτεῖ προδήλως τὸ προεσκεμμένα ἦν. Πρὸς δὲ τούτοις τίς δύναται νὰ μὴ θαυμάσῃ τὴν παθητικὴν τοῦ προὐσκέπτετο σημασίαν;[1]). Ἡ χρῆσις τοῦ προὔσκεπτο ἐπὶ πάθους οὐδὲν ἔχει τὸ παράδοξον. Ὡς τὸ δεδέχθαι, τὸ κεκτῆσθαι, τὸ ἀπολελογῆσθαι καὶ ἄλλα, περὶ ὧν ἀλλαχοῦ, λαμβάνονται οὐ μόνον ἐνεργητικῶς ἀλλὰ καὶ παθητικῶς· οὕτω καὶ τὸ ἐσκέφθαι. Θουκυδ. Ζ', 62 »πάντα καὶ ἡμῖν νῦν ἐκ τῶν παρόντων μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται" (Πρβ. Δοβραῖον *Advers.* Τόμ. Α', σελ. 113). Πλάτ. περὶ Πολιτ. Β', σ. 369, β' »Σκοπεῖτε οὖν. — Ἔσκεπται, ἔφη ὁ Ἀδείμαντος" (Πρβ. Ἀρριαν. Ἐπικτ. Διατρ. Δ', ζ', 16 »ἐμοὶ δ' ἔσκεπται περὶ πάντων"). Δ', σ. 435, δ' »Ἴσως μέντοι τῶν γε προειρημένων τε καὶ προεσκεμμένων ἀξίως" (Ἐν Γ', σ. 392, γ' κεῖται ὁ μετ' ὀλίγον μέλλων ἐσκέψεται, »καὶ ἡμῖν ἅ τε λεκτέον καὶ ὡς λεκτέον παντελῶς ἐσκέψεται". Πρβ. Ἀριστείδ. Τόμ. Α', σελ. 703 Δινδ. »καὶ οὕτω πρὸς ἄμφω καλῶς ὑμῖν ἐσκέψεται"). Ξενοφ. Ἑλλ. Γ', γ', 8 »ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἐσκεμμένα τε λέγειν ἡγήσαντο αὐτὸν καὶ ἐξεπλάγησαν" (Πρβ. καὶ Οἰκον. Θ', 2 καὶ αὐτόθ. Βρειτεμβάχιον σελ. 87). Δημοσθέν. πρὸς Λεπτίν. § 54, σ. 473 »πάλαι γὰρ ἐσκέφθαι ταῦτα καὶ ἐγνῶσθαι προσῆκεν". κατὰ Μειδ. § 191, σ. 576 »Τάχα τοίνυν ἴσως καὶ τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα (παθ.) καὶ παρεσκευασμένα πάντα λέγω νῦν. Ἐγὼ δ' ἐσκέφθαι (ἐνεργ.) μέν, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ καὶ οὐκ ἂν

---

[1]) Τὸ σκοποῦμαι (ἐπισκοποῦμαι) εὕρηται καὶ παθητικῶς ἐνίοτ' εἰλημμένον. Πλάτ. περὶ Νόμ. ς', σ. 772, δ' »σκοπῶν καὶ σκοπούμενος ὑπ' ἄλλων". σ. 776, β' »ἐπισκοποῦντάς τε ἅμα καὶ ἐπισκοπουμένους οἰκεῖν". Αἰσχύλ. Ἀγαμ. 13 »εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην". Πρβ. καὶ Πολύβ. Δ', λθ', 11 »διὰ τὸ μικρὸν ἔξω κεῖσθαι τῶν ἐπισκοπουμένων μερῶν τῆς οἰκουμένης". Λουκιαν. Δὶς Κατηγορ. § 11 (Τόμ. Γ', σελ. 74 Ἰακβ.) »διαταράξαντες γοῦν τοὺς λόγους καὶ τὸ ἐξ ἀρχῆς ἐπισκοπούμενον ξυγχέαντες ἀπέρχονται λοιδορησάμενοι ἀλλήλοις κτέ.", κτλ. Ἡσύχ. Τόμ. Δ', σελ. 48 Σμιδ. »Σκοπεῖσθαι: ὁρᾶσθαι". Ἴδε καὶ Τιμαρίων. 36 (Ἀναλ. Ἑλλισσεν. Τόμ. Δ', σελ. 79) »ἐν ὅσῳ δὲ τὰ τῆς δίκης πρότερον ἐσκοπεῖτο παρὰ τῶν δικαστῶν". 40 (σελ. 84) »ἡ μὲν ὅλη ἐπιφάνεια τῆς ψυχῆς ἐπιπολαίως κατασκοπουμένη λυθρώδης δοκεῖ τὸ χρῶμα".

ἀρνηθείην" (Ηρβ. καὶ Ἐρωτ. § 7, σ. 1403 »διὰ δὲ τῶν σωφρόνως καὶ καθαρῶς ζῆν αἱρουμένων οὐδὲ τὰ μετρίως ἐσκεμμένα διαμαρτάνεσθαι πέφυκεν"). Ἀριστοτέλ. περὶ Οὐρανοῦ Γ', α', 5 (Τόμ. Β', σελ. 411, 24 Διδ.) »περὶ δὲ τούτων ἐπέσκεπται πρότερον ἐν τοῖς περὶ κινήσεως λόγοις". περὶ Γενέσ. καὶ Φθορ. Α', β', 17 (Τόμ. Β', σελ. 436, 9) »ἔσκεπται δὲ περὶ αὐτῶν ἐν ἑτέροις". περὶ Ζῴ. Μορ. Δ', 11 (Τόμ. Γ', σελ. 297, 11) »ἐν τοῖς περὶ πορείας πρότερον ἐπέσκεπται κοινῇ περὶ πάντων". περὶ Ζῴ. Γενέσ. Α', 23 (Τόμ. Γ', σελ. 343, 46) »ἀλλὰ περὶ μὲν Φυτῶν ἐν ἑτέροις ἐπέσκεπται". περὶ Ζῴ. Κινήσ. Α' (Τόμ. Γ', σελ. 517, 4) »ἐπέσκεπται περὶ ἁπάντων ἐν ἑτέροις" (Ηρβ. καὶ Ἠθικ. Μεγ. Α', θ', 5, Τόμ. Β', σελ. 139, 32 »ὅ τι μὲν οὖν ἐστιν ἡ ἀρετὴ ἐπέσκεπται"). Θεόφρας. περὶ Φυτ. Ἱστορ. Γ', ιδ', 1 (Τόμ. Α', σελ. 82 Τεϋβν.) »ἐν δὲ ταῖς ἄλλαις ὥραις οὐκ ἐπέσκεπται". Ψευδιπποκράτ. Τόμ. Β', σελ. 19 Ἑρμερ. »ὅπερ, εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο, μηδ' εὕρητο μηδέν". Λογγῖν. περὶ Ὕψ. ΙΙΙ', 2 »εἰς τὸ δοκεῖν ἕκαστον τῶν ἐσκεμμένων ἐξ ὑπογυίου κεκινῆσθαί τε καὶ κτέ.". ΚΒ', 2 »ὡς μὴ δοκεῖν ἐσκεμμένα λέγειν ἀλλ' ἠναγκασμένα". Ἴδε καὶ Στράβ. Π', σ. 349. Λουκιαν. Ψευδολ. § 6, κτλ.

Τὸ σκέπτεσθαι φέρεται καὶ ἐν τῷ Λάχητι τοῦ Πλάτωνος σ. 185, β' »τί ποτ' ἐστὶ περὶ οὗ βουλευόμεθα καὶ σκεπτόμεθα" καὶ ἐν τῷ δευτέρῳ Ἀλκιβιάδῃ σ. 140, α' »σύν τε δύο σκεπτομένω". Ἀλλ' ὁ μὲν δεύτερος Ἀλκιβιάδης δὲν εἶνε γνήσιον ἔργον τοῦ Πλάτωνος. Ἄλλως τε ἐν ῥήσει κατὰ μίμησιν τοῦ ὁμηρικοῦ »ξύν τε δύ' ἐρχομένω" (Ἰλ. Κ, 224) συγκειμένῃ ἡ χρῆσις ἐπικῆς λέξεως δὲν πρέπει νὰ νομίζηται θαυμασμοῦ ἀξία. Ἐν δὲ τῷ χωρίῳ τοῦ Λάχητος φαίνεται ὅτι τὸ καὶ σκεπτόμεθα πρὸς ἐξήγησιν τοῦ βουλευόμεθα ὑπὸ σχολαστικοῦ τινος προσγραφὲν μετετέθη ἔπειτα ὑπὸ τοῦ βιβλιογράφου εἰς τὸ ἔδαφος, καθάπερ καὶ ἀλλαχοῦ συνέβη. Ἂν ἀντὶ τοῦ σκεπτόμεθα ἔκειτο σκοπούμεθα, οὐδεμία τοιαύτη ὑποψία οὐδενὶ θὰ παρίστατο· διότι τίς τὴν τῶν Ἑλλήνων ἀγνοεῖ συνήθειαν, οἵτινες πιστῶς τῇ Φύσει, τῷ μεγάλῳ τούτῳ διδασκάλῳ, ἀκολουθοῦντες πολλάκις δύο λέξεις τὴν αὐτὴν ἢ ὁμοίαν σημασίαν ἐχούσας συνάπτουσιν, ἵν' ἐμψυχότερον καὶ ἐναργέστερον καὶ ἐμφαντικώτερον τὸν λόγον καταστήσωσιν ἢ ἄλλως ἁδρότερον καὶ πολυμερέστερον καὶ στρογγυλώτερον; Δημοσθέν. κατ' Ἀριστοκρ. § 1, σ. 621 »ἀλλ' εἴπερ ἄρ'

ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ". πρὸς Λεπτίν. § 85, σ. 482 »οὐ σκέψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιεῖσθε κτέ.;" (§ 163, σ. 507 »σκέψασθε παρ' ἄλληλα καὶ λογίσασθε πρὸς ὑμᾶς αὐτούς"). περὶ Παραπρεσβ. § 4, σ. 342 »εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς ... καὶ λογίσαισθε". Ὀλυνθ. Α', § 21, σ. 15 »ἄξιον δ' ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα". Ἰσοκράτ. περὶ Ἀντιδόσ. § 169 »εἰσέπεσον εἰς τὸ λογίζεσθαι καὶ σκοπεῖν". Ἱπποκράτ. περὶ Ἀέρ. Ὑδ. Τόπ. ΙΖ', Τόμ. Α', σελ. 263 Ἐρμερ. »κατὰ ταῦτά τις ἐννοεύμενος καὶ σκοπούμενος προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων" (Ἀπίθανον ἡμῖν φαίνεται ὅτι ἔγραψεν ὁ Ἱπποκράτης σκοπούμενος ἀντὶ τοῦ σκοπεύμενος ἢ σκοπεόμενος. Ἀλλὰ τὸ χρυσοῦν τοῦτο τοῦ πατρὸς τῆς ἰατρικῆς βιβλίον οὕτω τὰ νῦν διάκειται, ὥστ' ἐν αὐτῇ τῇ ἀρχῇ ἀναγινώσκεται »ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητεῖν τάδε χρὴ σκοπέειν"), κτλ. Δὲν ὑπάρχει τόπος ἐνταῦθα νὰ πραγματευθῶμεν μετ' ἀκριβείας περὶ τῆς συνηθείας ταύτης τῶν Ἑλλήνων. Ἱκανὸν νομίζομεν ἐπὶ τοῦ παρόντος νὰ καταστήσωμεν διὰ παραδειγμάτων φανερὸν πόσον συχνὴ ἡ τῶν δεήσεως σημαντικῶν ῥημάτων συνάφεια εἶνε μάλιστα παρὰ τοῖς ῥήτορσι πρὸς ἐπίτασιν τῆς παρακλήσεως ἢ πρὸς μείζονα κίνησιν τοῦ πρὸς ὃν ὁ λόγος ἀποτείνεται. Πλάτ. Φαῖδ. σ. 114, β' »καλέσαντες δ' ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην". Ἀπολ. σ. 34, γ' »ὁ μὲν καὶ ἐλάττω τουτουῖ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων" (Πρβ. καὶ Εὐθυδ. σ. 282, β' »δεόμενον καὶ ἱκετεύοντα σοφίας μεταδιδόναι"). σ. 17, γ' »τοῦθ' ὑμῶν δέομαι καὶ παρίεμαι". Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. § 25 »ἠντεβόλει δὲ καὶ ἱκέτευε". περὶ Τραύμ. § 20 »ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ (κατ' Ἀνδοκ. § 55 »ἀντιβολήσει καὶ ἱκετεύσει ὑμᾶς"). κατ' Ἀλκιβ. Β', § 3 »ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δικαστάς". κατὰ τῶν Σιτοπωλ. § 21 »οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσιν". κατὰ Διογείτ. § 11 »ἡ μήτηρ αὐτῶν ἠντεβόλει με καὶ ἱκέτευε" (Πρβ. καὶ κατ' Ἀλκιβ. Α', § 16 »ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν"). Αἰσχίν. περὶ Παραπρεσβ. § 179 »ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν πρόνοιαν ποιήσασθαι" (Πρβ. καὶ § 180 »παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με κτέ."). Δημοσθέν. κατὰ Μειδ. § 7, σ. 516 »δέομαι οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω πρῶτον μὲν κτέ.". κατὰ Διονυσοδ. § 4, σ. 1284 »ὑμῶν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁμοίως ἁπάντων δεόμεθα καὶ

ἱκετεύομεν βοηθῆσαι ἡμῖν". κατὰ Θεοκρίν. § 3, σ. 1322 »δέομαι οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἱκετεύω μετ' εὐνοίας ἀκοῦσαί μου" (Πρβ. καὶ περὶ τοῦ Στεφ. § 6, σ. 227 »ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου κτέ.". κατ' Ἀριστοκρ. § 19, σ. 626 »ἃ δὴ δέομαί τε καὶ ἀξιῶ παρὰ πάντων ὑμῶν τυχεῖν". κατὰ Κόν. § 2, σ. 1256 »ἀξιῶ δὴ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν κτέ.") κτλ. Ἀξιομνημόνευτα εἶνε καὶ τὰ ἐξῆς παραδείγματα, ἐν οἷς τρεῖς ἅμα τοιαῦται λέξεις κεῖνται ἱκετευτικώτατον τὸν λόγον ἀπεργαζόμεναι. Ἰσαῖ. περὶ τοῦ Μενεκλ. Κλήρ. § 44 »ἐγὼ οὖν δέομαι ὑμῶν πάντων, ὦ ἄνδρες, καὶ ἀντιβολῶ καὶ ἱκετεύω ἐλεῆσαί με". Λυσ. ὑπὲρ τῶν τοῦ Νικ. Ἀδελφ. § 27 »ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω". Ἀπολ. Δωροδ. § 21 »ἐγὼ δ' ὑμῶν δέομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ". Δημοσθέν. κατ' Ἀφόβ. Α', § 68, σ. 835 »δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω καὶ ἀντιβολῶ". κατὰ Στεφ. Α', § 1, σ. 1101 »δέομαι δὲ πάντων ὑμῶν καὶ ἱκετεύω καὶ ἀντιβολῶ πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου" (Πρβ. καὶ § 85, σ. 1127). πρὸς Εὐβουλίδ. § 1, σ. 1299 »δέομαι δ' ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω καὶ ἀντιβολῶ".

Καὶ ἀόριστος δ' ἐσκόπησα ἀντὶ τοῦ ἐσκεψάμην ἐν τῇ χρηστῇ τοῦ Ῥαγκαβῆ χρηστομαθείᾳ ἀναγινώσκεται. Τόμ. Α', σελ. 75. »Σκόπησον, ἀγαπητὲ, τῆς σῆς καὶ ἐμῆς Φύσεως τὴν εὐτέλειαν". σελ. 244 »καθ' ἕκαστον αὐτῶν ἐπισκοπήσωμεν".

Παρὰ τοῖς ἀρχαίοις μόνος ὁ ἀόριστος ἐσκεψάμην (ἐπεσκεψάμην, κτλ.) [1]) ὑπῆρχεν ἐν χρήσει μετὰ τοῦ μέλλοντος σκέψομαι καὶ τοῦ παρακειμένου ἔσκεμμαι. Ὁ δὲ κομψὸς ἐσκόπησα ἐφάνη κατὰ τοὺς ἔπειτα χρόνους, καθ' οὓς πλεῖστα νόθα καὶ παράσημα τῇ ἑλληνικῇ Φωνῇ εἰσεκώμασαν, ἐκ τοῦ σκοπῶ πλασθεὶς

---

[1]) Ἐν τῷ λεξικῷ τοῦ Σκ. Βυζαντίου, πολυμαθοῦς καὶ οὐ νυστάζοντος ἐν τοῖς ἑλληνικοῖς γράμμασιν ἀνδρός, ἀναγινώσκομεν τὰ ἑξῆς· »Σκέπτομαι [σκήπτω ἢ σκέπω], Μ. σκέψομαι (πθ. πρκ. Ἔσκεμμαι καὶ ἀόρ. β'. Ἐσκέπην)" (σελ. 1270). Ὁ δεύτερος ἀόριστος ἐσκέπην εἶνε μοχθηρότατος καὶ τῶν μεταφραστῶν τῆς Παλαιᾶς Διαθήκης ἄξιος. Ἀριθμ. Α', 19 »καὶ ἐπεσκέπησαν ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ" (Πρβ. καὶ Α', 47). Δ', 38 »καὶ ἐπεσκέπησαν υἱοὶ Γεδσὼν κατὰ δήμους αὐτῶν" (Πρβ. καὶ Δ', 42. 48. 49, κτλ.). Β', 33 »οἱ δὲ Λευῖται οὐ συνεπεσκέπησαν ἐν αὐτοῖς".

ὁμοίως τῷ ἐποίησα ἐκ τοῦ ποιῶ καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὸν αὐτὸν τρόπον σχηματιζομένοις. Λουκιαν. περὶ τῶν ἐπὶ Μισθ. Συν. § 10 (Τόμ. Α', σελ. 410 Ἰακβ.) »Φέρε ἤδη πρὸς ἡμᾶς αὐτοὺς ἐπισκοπήσωμεν" (Πρβ. καὶ § 3, σελ. 405: προεπισκόπησον). Ἑρμοτ. § 44 (σελ. 489) »ἰδοὺ δὴ καὶ ἑτέρως τὸ αὐτὸ ἐπισκόπησον". § 59 (σελ. 500) »οὕτωσὶ δὲ ἐπισκοπήσωμεν". πῶς δεῖ Ἱστορ. Συγγρ. § 7 (Τόμ. Β', σελ. 8) »καὶ πρῶτόν γε ἐκεῖνο ἡλίκον ἁμαρτάνουσιν ἐπισκοπήσωμεν". περὶ τοῦ Οἴκ. § 1 (Τόμ. Γ', σελ. 303) »ἀλλὰ περισκοπήσας ἀκριβῶς καὶ θαυμάσας κτέ.". περὶ τῆς Περεγρίν. Τελευτ. § 44 (σελ. 437) »ταῦτα δέ μοι ὁ Ἀλέξανδρος ὁ ἰατρὸς διηγήσατο μετακληθεὶς ὡς ἐπισκοπήσειεν αὐτόν" (Πρβ. καὶ Ἀληθ. Ἱστορ. Α', § 32, Τόμ. Β', σελ. 72 »περισκοπήσασθαι τὰ πάντα βουλόμενος". Κοινῶς περισκέψασθαι. Ἴδε καὶ Κόβητον *Var. Lect.* σελ. 318 καὶ σελ. 326). Ἰώσηπ. Ἀρχαιολ. Ε', α', 26 »πρὸς δὲ τὸ συγγενὲς καὶ τὸ τάχα καὶ λόγοις ἂν σωφρονῆσαι σκοπήσαντας". Ις', β', 4 »τὸ δ' ἕτερον ἤδη σκοπήσωμεν" (Παρακείμενος προανεσκοπῆσθαι κεῖται ἐν ΙΖ', ε', 6 »οἱ πολλοὶ προανεσκοπημένοι" καὶ ἐν ΙΖ', ς', 3 »καὶ μηδὲν τοῦ ὀνήσαντος προανεσκοπημένοις". Πρβ. καὶ Θεόδ. Πρόδρ. Δ', 422 »γέγραπτο ταῦτα λίαν ἐσκοπημένως". Τὸ ὀρθὸν εἶνε ἐσκεμμένως, διεσκεμμένως, περιεσκεμμένως, προεσκεμμένως. Πρβ. καὶ Ἡσύχ. Τόμ. Β', σελ. 143 Σμιδ. »Ἐπεσκεμμένως: συνετῶς". Παθητικὸς ἀόριστος σκοπηθῆναι εὕρηται παρὰ Τιμαρίωνι 39, Τόμ. Δ', σελ. 84 Ἀναλ. Ἑλλισσ. »σκοπηθήτω νῦν παρά τινων εὐόπτων ἀνδρῶν"). Δί. Κάσσ. ΜΘ', ιζ', 3 »παρήνεσέ σφισιν ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἑκάστῳ τῆς σωτηρίας προσκοπῆσαι". ΝΒ', ιδ', 3 »ἀλλὰ τὰ γιγνόμενα ἐξ αὐτῶν προσκοπήσαντα κτέ.". Ος', ια', 1 »τοῦ τὴν ὥραν, ὥς φασιν, ἐπισκοπήσαντος". Ἀχιλλ. Τάτ. Ζ', 12 »ἔδοξεν οὖν αὐτῷ διασκοπήσαντι σὺν τοῖς παρέδροις αὐτοῦ". Ἡλιόδ. Αἰθ. Γ', 7 »ἤδη δὲ κἀκεῖνα σκόπησον, ὦ Χαρίκλεις". Η', 16 »ὃ δὴ καὶ σκοπήσαντες οἱ Πέρσαι κτέ.". Ι', 34 »τὰς ἄλλας ἐπισκόπησον". Εὐνάπ. Βί. Σοφιστ. σελ. 469, 24 Διδ. »εἶτα ἐπισκοπήσασα τῷ λόγῳ βραχύν τινα χρόνον". Εὐστάθ. Ὑσμίν. καὶ Ὑσμιν. Δ', 3 »καὶ ὅλον κατασκοπήσας αὐτόν". ς', 13 »καί μοι διασκόπησον τὰ τοῦ πράγματος". Θεμίστ. σελ. 248, β' »καὶ ἐπισκοπήσαντες ἀκριβῶς κτέ.". (Πρβ. Κόβητον Μνημοσ. Τόμ. ΙΑ', σελ. 231). Αἰσώπ. Μῦθ.

72 Ἀλμ. »ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπῆσαι" (Πολλῷ εὐαρμοστότερος εἶνε ἐνταῦθα ὁ ἐνεστώς, καὶ μεταγραπτέον ἴσως ἐπισκοπεῖσθαι). Ψευδαριστοτ. περὶ Φυτ. Α′, 19 (Τόμ. Δ′, σελ. 29, 31 Διδ.) »ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν". Παῦλ. πρὸς Γαλάτ. Β′, 4 »οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν", κτλ. Βάβρ. Μύθ. ΡΗ′, 10 »πρὸς ταῦτα δὴ σκόπησον εἰ γάμου χρήζεις", κτλ. (Ἡσύχ. Τόμ. Γ′, σελ. 314 Σμιδ. »Περίστασο: κύκλευσον, σκόπησον, περίφευγε". Πρβ. Φώτ. Λεξ. σελ. 417, 25 »Περίστασο: ἀντιλαβοῦ, περισκόπησον". Ἴσως ἐνταῦθα σύγχυσις ὑπάρχει τοῦ »Παρίστασο: ἀντιλαβοῦ" καὶ τοῦ »Περίστασο: περισκόπησον". Γνωστὸν εἶνε ὅτι συχνάκις ἡ παρὰ καὶ ἡ περὶ εἰς ἀλλήλας μεταβάλλονται. Ἀλλ' ὁ Κόβητος Μνημοσ. Τόμ. Η′, σελ. 52 κελεύει νὰ γραφῇ »Περίστασο: ἀντὶ τοῦ εὐλαβοῦ". Περὶ τῆς σημασίας ταύτης τοῦ περίστασο πρβ. Ἄλβερτον Ἡσυχ. Τόμ. Β′, σελ. 926).

Τοῦ μέλλοντος σκοπήσω παραδείγματα ἔστωσαν τὰ ἑξῆς. Ἀρριαν. Ἐπικτ. Διατρ. Α′, ια′, 38 »οὐδὲν ἄλλο ἐπισκοπήσομεν οὐδὲ ἐξετάσομεν". Γ′, κδ′, 51 »τὸν δὲ κατασκοπήσοντα ἐξιέναι". Ἡλιόδ. Αἰθ. Ε′, 4 »ἕως τὴν λίμνην διέπλευσαν ὅ τι ποτὲ τὸν λῃσταρχον ἔδρασαν οἱ πολέμιοι κατασκοπήσοντες". Ἑρμογέν. περὶ Εὑρέσ. Γ′, 10 παρὰ Σπεγγ. Τόμ. Β′, σελ. 223 »γενόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτω διασκοπήσεις" (Κακῶς ὁ Σπέγγελος ἐξέδωκεν ἐν Α′, 1, σελ. 182 »Εἰ μὲν οὖν τοῖς κατηγόροις πειθόμενοι τὴν γυναῖκα ταύτην παιδοκτόνον ὑπολήψαισθε [1]), οὐκ ὀρθῶς ποιήσετε. εἰ δὲ τὰ πεπραγμένα σκοπή-

---

[1]) Αἰσχρόν, νομίζομεν, εἶνε οὕτω μεγάλα σφάλματα νὰ γίνωνται ἐν νέαις μάλιστα ἐκδόσεσι. Πᾶς τις μὴ παντάπασιν ἰδιώτης τῆς ἑλληνικῆς γλώσσης ὢν παρευθὺς τὸ τερατῶδες τῶν τοιούτων τύπων αἰσθάνεται καὶ ἐναργῶς τὸ γνήσιον ἐν αὐτοῖς καθορᾷ, τὸ ἐκ τῆς χειρὸς αὐτοῦ τοῦ συγγραφέως προελθόν. Μανία κακοδαιμονία τ' ἔτι μᾶλλον εἶνε νὰ παραλαμβάνωνται ἐκ τῶν ἀντιγράφων εἴτε συμφωνούντων εἴτε μὴ τοιαῦτ' εἰδεχθῆ καὶ ἀπόβλητα ἐκτρώματα, ἅτινα οὐδὲ μνείας ἴσως ἄξια πρέπει νὰ νομίζωνται. Πλεῖστα παραδείγματα πρόχειρα ἔχομεν, ἐν οἷς ταὐτίγραφα ἢ πάντα ἢ ἔνια πλημμελεῖς ἀορίστους ἀντὶ μελλόντων φέρουσιν· ἀλλ', ἵνα μὴ λίαν μακρολογήσωμεν, θὰ μνημονεύσωμεν μόνα τὰ ἐκ τοῦ Λουκιανοῦ καὶ τοῦ Ἀριστείδου, ἱκανὰ ὄντα καὶ αὐτὰ τὴν τῶν βιβλιογρά-

σαιτε καὶ τοῦ τετελευτηκότος δίκαια ἐγκλήματα, κτέ." ἀντὶ τοῦ ὑπολήψεσθε καὶ σκοπήσετε). Βάβρ. ΡΓ', 8 »ἐπισκοπήσων δ' εἷς ἕκαστος εἰσήει". Θεόδ. Πρόδρ. Θ', 123 »σκοπήσομεν γοῦν εἰς νέωτα". Σκοπητέον ἀντὶ τοῦ σκεπτέον ἀναγινώσκεται παρὰ Σιμπλικίῳ Ἐξηγ. εἰς τὸ Ἐπικτ. Ἐγχειρ. σελ. 106,

---

